# ΠΑΡΜΕΝΙΔΗΣ

## ΚΕΦΑΛΟΣ ΑΔΕΙΜΑΝΤΟΣ ΓΛΑΥΚΩΝ ΑΝΤΙΦΩΝ

᾿Επειδὴ ᾿Αθήναζε οἴκοθεν ἐκ Κλαζομενῶν ἀφικόμεθα. 126 a
κατ᾿ ἀγορὰν ἐνετύχομεν ᾿Αδειμάντῳ τε καὶ Γλαύκωνι· καί
μου λαβόμενος τῆς χειρὸς ὁ ᾿Αδείμαντος, Χαῖρ᾿, ἔφη, ὦ
Κέφαλε, καὶ εἴ του δέῃ τῶν τῇδε ὧν ἡμεῖς δυνατοί, φράζε.

᾿Αλλὰ μὲν δή, εἶπον ἐγώ, πάρειμί γε ἐπ᾿ αὐτὸ τοῦτο,
δεησόμενος ὑμῶν.

Λέγοις ἄν, ἔφη, τὴν δέησιν.

Καὶ ἐγὼ εἶπον· Τῷ ἀδελφῷ ὑμῶν τῷ ὁμομητρίῳ τί ἦν b
ὄνομα ; οὐ γὰρ μέμνημαι. Παῖς δέ που ἦν, ὅτε τὸ πρότερον
ἐπεδήμησα δεῦρο ἐκ Κλαζομενῶν· πολὺς δὲ ἤδη χρόνος ἐξ
ἐκείνου. Τῷ μὲν γὰρ πατρί, δοκῶ, Πυριλάμπης ὄνομα.

Πάνυ γε, ἔφη· αὐτῷ δέ γε ᾿Αντιφῶν. ᾿Αλλὰ τί μάλιστα
πυνθάνῃ ;

Οἵδε, εἶπον ἐγώ, πολῖταί τ᾿ ἐμοί εἰσι, μάλα φιλόσοφοι.
ἀκηκόασί τε ὅτι οὗτος ὁ ᾿Αντιφῶν Πυθοδώρῳ τινὶ Ζήνωνος
ἑταίρῳ πολλὰ ἐντετύχηκε, καὶ τοὺς λόγους, οὕς ποτε Σω- c
κράτης καὶ Ζήνων καὶ Παρμενίδης διελέχθησαν, πολλάκις
ἀκούσας τοῦ Πυθοδώρου ἀπομνημονεύει.

᾿Αληθῆ, ἔφη, λέγεις.

Τούτων τοίνυν, εἶπον, δεόμεθα διακοῦσαι.

᾿Αλλ᾿ οὐ χαλεπόν, ἔφη· μειράκιον γὰρ ὢν αὐτοὺς εὖ